ἀλλὰ ἑαυτοῦ μέρη, εἰ τὰ δὲ ὅμοια πάντα. καὶ γὰρ ὅμοιον οὕτω λέγει τὸ πᾶν εἶναι οὐκ

ἄλλῳ τινὶ ὃ περανθῆναι ὁρᾷς, ἐλέγχει ὅτι ὅμοιον τὸ ἄπειρον. τό γε ὅμοιον, ἑτέρῳ ὅμοιον. ὥστε δύο ἢ πλείω ὄντα, οὐκ ἂν ἓν οὐδ᾽ ἄπειρον εἶναι, ἀλλ᾽ ἴσως τὸ ὅμοιον πρὸς αὐτὸ λέγει, καὶ φησὶν αὐτὸ ὅμοιον εἶναι πᾶν, ὅτι ὁμοιομερὲς ὕδωρ ὂν ἅπαν ἢ γῆν, [ἢ] εἴ τι τοιοῦτον ἄλλο. δῆλος γὰρ οὕτως ἀξιῶν εἶναι ἓν τῶν δὲ μερῶν ἕκαστον σῶμα ὄν, οὐκ ἄπειρόν ἐστι. τὸ γὰρ ὅλον, ἄπειρον. ὥστε ταῦτα περαίνει πρὸς ἄλληλα ἀγένητα ὄντα. ἔτι εἰ ἀΐδιόν τε καὶ ἄπειρόν ἐστι, πῶς ἂν εἴη ἓν σῶμα ὄν; εἰ μὲν γὰρ ἀνομοίων ἀμερῶν εἴη πολλά, καὶ αὐτὸς οὕτω γε εἶναι ἀξιοῖ. εἰ δὲ ἅπαν ὕδωρ, ἢ ἅπασαν γῆν, ἢ ὅτι δὴ τὸ ὂν τοῦτ᾽ ἐστὶ, πολλὰ ἂν ἔχοι μέρη, ὡς καὶ Ζήνων ἐπιχειρεῖ ὂν δεικνύναι τὸ οὕτως ὂν ἕν. εἴη οὖν καὶ πλείονα αὐτοῦ μέρη ἐλαττόνων τε καὶ μικροτέρων, ἄλλά τε πάντῃ ἂν ταύτῃ ἀλλοῖον εἴη οὐδενὸς προσγιγνομένου σώματος, οὐδ᾽ ἀπογιγνομένου. εἰ δὲ μήτε σῶμα, μήτε πλάτος, μήτε μῆκος ἔχον μηδέν, πῶς ἂν ἄπειρον ἂν εἴη; τί κωλύει, πολλὰ καὶ ἀνάριθμα τοιαῦτα εἶναι; τί κωλύει, καὶ πλείω ὄντα ἑνὸς, μεγέθει ἄπειρα εἶναι; ὡς καὶ Ξενοφάνης ἄπειρον τό τε βάθος τῆς γῆς καὶ τοῦ ἀέρος φησὶν εἶναι. δηλοῖ δὲ καὶ ὁ Εμπεδοκλῆς. ἐπιτιμᾷ γὰρ ὡς λεγόντων τινῶν τοιαῦτα ἀδύνατα εἶναι, οὕτως ἐχόντων ξυμβαίνειν αὐτά· Εἴπερ ἀπείρονα γῆς τε βάθη, καὶ δαψιλὸς αἰθὴρ, Ὃς διὰ πολλῶν δὴ βροτέων ῥηθέντα ματαίως Ἐκκέχυται στομάτων, [οὐδὲν] τοῦ παντὸς ἰδόντων. ἔτι ὂν ἕν, οὐδὲν ἄτοπον, εἰ μὴ πάντῃ ὅμοιόν ἐστιν. εἰ γάρ ἐστιν ὕδωρ ἅπαν, ἢ πῦρ, ἢ ὅτι δὴ ἄλλο τοιοῦτον, οὐδὲν κωλύει πλείω εἰπεῖν τοῦ ὄντος ἑνός· εἰ δὴ δ᾽ ἕκαστον ὅμοιον αὐτὸ ἑαυτῷ. καὶ γὰρ μανόν, τὸ δὲ πυκνὸν εἶναι, μὴ ὄντος τοῦ τῷ μανῷ κενοῦ. οὐδὲν κωλύειν γὰρ, τῷ μανῷ οὐκ ἔστιν ἔν τισι μέρεσι χωρὶς ἀποκεκριμένον τὸ κενόν· ὥς τὸ τοῦ ὅλου, τὸ μὲν εἶναι πυκνόν, καὶ τουτὶ δέ ἐστι μανὸν τὸ πᾶν οὕτως ἔχον· ἀλλ᾽ ὁμοίως ἅπαν πλῆρες ὄν, ὁμοίως ἧττον πλῆρές ἐστι τοῦ πυκνοῦ. εἰ δὲ καὶ ἔστιν, ἀγένητόν ἐστιν, καὶ διὰ τοῦτο δοθείη ἄπειρον εἶναι, καὶ μηδὲ ἐνδέχεσθαι ἄλλο καὶ ἄλλο ἄπειρον εἶναι. διὰ τοῦτο καὶ ἓν τοῦτο ἤδη προσαγορευτέον καὶ ἀδύνατον. πῶς γὰρ ἂν τὸ ἄπειρον ὅσων; ἢ τί κενὸν μὴ ὅλον ἂν οἷόν τε εἶναι; ἀκίνητον δ᾽ εἶναι φησίν, εἰ κενὸν μὲν ἐστιν, ἅπαντα γὰρ κινεῖται τῷ ἀλλάττειν τόπον. πρῶτον μὲν οὖν τοῦτο πολλοῖς οὐ συνδοκεῖ, ἀλλ᾽ εἶναί τι κενόν· οὐ μὲν τοί τό γέ τι σῶμα εἶναι ἀλλ᾽ οἷον καὶ ὁ Ἡσίοδος ἐν τῇ γενέσει πρῶτον τὸ χάος φησὶ γενέσθαι· ὡς δὲ χώραν πρῶτον ὑπάρχειν τοῖς οὖσιν. τοιοῦτον δέ τι καὶ τὸ κενὸν, οἷον ἀγγεῖόν τι ἀνὰ μέσον εἶναι ζητοῦμεν. ἀλλὰ δὴ καὶ εἰ μή ἐστι κενὸν, μηδέ τι ἴσως ἂν κινοῖτο ἐπεὶ καὶ Ἀναξαγόρας τὸ . πραγματευθεὶς, καὶ οὐ μόνον ἀποχρῆσαν αὐτῷ ἀποφήνασθαι ὅτι οὐκ ἔστιν, ὅμως κινεῖσθαι φησὶ τὰ ὄντα, οὐκ ὄντος κενοῦ. ὁμοίως δὲ καὶ ὁ Ἐμπεδοκλῆς κινεῖσθαι μὲν ἀεί φησι συγκινούμενα τὸν ἅπαντα ἐνδελεχῶς χρόνον, οὐδὲν εἶναι λέγων ὡς τοῦ παντὸς, οὐδὲ κενεόν. πόθεν οὖν τί κ᾽ ἐπέλθοι. ὅταν δὲ εἰς μίαν μορφὴν συγκριθῇ, ὡς ἓν εἶναι, οὐδέν φησι τό γε κενεὸν πέλει, οὐδὲ περισσόν. τί γὰρ κωλύει εἰς ἄλληλα φέρεσθαι καὶ περιΐστασθαι ἅμα ὁποιουοῦν εἰς ἄλλο, καὶ τούτου εἰς ἕτερον, καὶ εἰς τὸ πρῶτον, ἄλλου μεταβάλλοντος ἀεί. ἔτι καὶ τὴν ἐν τῷ αὐτῷ

μένοντος